τοῦ βίου μέρος. Εὐθὺς τοίνυν ἐκεῖνο μέγιστον περὶ εὐχῆς εἰπεῖν ἔχομεν, ὅτι πᾶς προσευχόμενος, τῷ θεῷ διαλέγεται. ὅσον δέ ἐστιν ἄνθρωπον ὄντα τῷ θεῷ λαλεῖν, ἀγνοεῖ μὲν οὐδείς. παραστῆσαι δὲ λόγῳ τὴν τιμὴν, οὐκ ἄν τις δυνηθείη. αὕτη γὰρ ἡ τιμὴ καὶ τὴν τῶν ἀγγέλων ὑπεραίρει μεγαλοπρέπειαν. ὃ καλῶς ἐκεῖνοι ἐπιστάμενοι, πάντες φαίνονταί που παρὰ προφήταις σὺν πολλῷ τῷ φόβῳ τοὺς ὕμνους καὶ τὰς λατρείας τῷ δεσπότῃ προσάγοντες, καλύπτοντες μὲν καὶ πρόσωπα καὶ τοὺς πόδας ὑπὸ πολλῆς εὐλαβείας, τῇ δὲ πτήσει καὶ τῷ μὴ δύνασθαι μένειν ἐν ἡσυχίᾳ, τὸν πολλὴν ἐνδεικνύμενοι φόβον· παιδεύοντες, οἶμαι, καὶ ἡμᾶς ἐπιλανθάνεσθαι μὲν τῆς ἀνθρωπίνης φύσεως ἐν καιρῷ προσευχῆς, τῇ δὲ προθυμίᾳ καὶ τῷ φό-

*ac desertam esse patiantur. Principio igitur illud in primis de precatione dici potest, eum, qui precatur, cum Deo colloqui. Quantum verò sit, hominem in diuinũ colloquium venire, nemo est, q̃ nesciat. Verùm rei dignitatem quis verbis assequatur? Etenim huiusmodi honos etiã Angelorũ amplitudinẽ facile superat. id quod illi, cùm probè intelligant, omnes ferè apud prophetas cùm laudes, & cultum domino adferunt, summo cernuntur timore correpti; dũ ora pedesq́;, præ veneratione tegunt: dũ volatu, motuq́; assiduo, summam religionis trepidationẽ p̃se ferũt. Quin etiam nos, vt opinor, monent, vt precandi tẽpore humanæ naturæ obliuiscamur, atq́; venera-*

Qui orat, cum Deo loquitur.